Δη. Ἀγορακρίτῳ τοίνυν γ' ἐμαυτὸν ἐπιτρέπω.
Καὶ τὸν Παφλαγόνα παραδίδωμι τουτονί.
Αλ. Καὶ μὴν ἐγώ σ' ὦ δῆμε θεραπεύσω καλῶς.
Ὥσθ' ὁμολογεῖν σε, μηδέν' ἀνθρώπων ἐμοῦ
Ἰδεῖν ἀμείνω τῇ Κεχηναίων πόλει.

APO. Ego memet Agoracritω commendatum volo,
Eiq; Paphlagonem istum trado pessimum.
AG. Equidem mi popule, ego te curabo sedulò.
Vt tute fatearis, præter me, neminem
Vidisse, qui vrbi Hiantiæ meliùs velit.

Σχόλια. Καλλίνικε.] τοῦτο λέγει ὁ χορὸς πρὸς τὸν Ἀλλαντοπώλην. Φανός.] Σύμμαχος. φαίνεταί τις γραμματεὺς εἶναι τῶν πάνυ σπανίων, ὄνομα κύριον. κωμῳδεῖ δὲ αὐτὸν ὡς φιλόδικον. φανερὸς δέ, ὁ καταγγέλλων καὶ φανερὰ ποιῶν τὰ πράγματα καὶ μηνύων. ἢ ἀπὸ τοῦ φαίνειν. ὅ ἐστι συκοφαντεῖν. Φανὸς γάρ, κακοπράγμων ἐγένετο φιλόνεικος γραμματεύς. ἐπὶ δήμου γάρ, ὑπογραφεὺς ἐλέγετο. ὁ δὲ τοῦ βουλευτηρίου, ἀντιγραφεύς. δημοσίου δὲ γινομένου, ἔγραφον ἀμφότεροι τὰ λεγόμενα. Τῇ Κεχηναίων πόλει.] Ἀθηναίων. ὡς ληρούντων αὐτῶν. ἔπαιξε παρὰ τὸ Ἀθηναίων. ἀπὸ δὲ τοῦ κεχηνέναι ἔλαβε τὸ ὄνομα ὡς μετέωρα τῶν Ἀθηναίων φρονούντων.

B

## ΩΔΗ ΚΑΙ ΣΤΡΟΦΗ κώλων ι.

Χο. Τί κάλλιον ἀρχομένοισιν,
Ἢ καταπαυομένοισιν,
Ἢ θοᾶν ἵππων ἐλατῆρας ἀείδειν;
Μηδὲν ἐς Λυσίστρατον
Μηδὲ Θούμαντιν ἀνέστιον αὖ,
Λυπεῖν ἑκούσῃ καρδίᾳ.
Καὶ γὰρ οὗτος, ὦ φίλ' Ἄπολλον
Πεινῇ, θαλεροῖσι δακρύοις
Σᾶς ἁπτόμενος φαρέτρας
Πυθῶνι ἐν, διὰ τὸ κακῶς πένεσθαι.

## ODE ET STROPHE.

C
CH. Quid pulcrius incipienti, aut denique finem adhibenti:
Quàm loqui laudem domitoris equorum.
Nec vel in Lysistrato,
Vel malè egente Thomante aliquid
Taxare corde conscio.
Hic enim famem, ô bone Apollo,
Fert cum calidis lacrymis, pre-
D Hendiq; tuam pharetram,
Delphos apud, summa inopia laborans.

Σχόλια. Τί κάλλιον ἀρχομένοισι.] τοῦτο ἀρχὴ προσῳδίου Πινδάρου. ἔχει δὲ οὕτω. τί κάλλιον ἀρχομένοισιν, ἢ καταπαυομένοισιν. ἢ βαθύζωνόν τε Λατὼ καὶ θοᾶν ἵππων ἐλάτειραν ἀεῖσαι. κορωνὶς δέ, ἔξεισι γὰρ οἱ ὑποκριταί. καὶ ἔστι συζυγία ἐπιρρηματική. ὡς αἱ μὲν μελικαὶ περίοδοι δεκάκωλοί εἰσι. καὶ αὐτῶν τὸ μὲν α΄ ἰαμβικὸν ἑφθημιμερές, ἢ ἐξ ἀντισπάστου καὶ χοριάμβου δίμετρον ὑπερκατάληκτον. τὸ δὲ β΄, δακτυλικὸν τρίπουν εἰς δισυλλαβίαν. τὸ γ΄ ἐξ ἐπιτρίτου δευτέρου χοριάμβου καὶ ἰωνικοῦ ἀπ' ἐλάττονος τρίμετρον ἀκατάληκτον. τὸ δ΄, τροχαϊκὸν τρίπουν ἑφθημιμερές. τὸ ε΄. ἐπικὸν ἑφθημιμερές. τὸ ς΄, ἰαμβικὸν δίμετρον ἀκατάληκτον. τὸ ζ΄, τροχαϊκὸν δίμετρον ὑπερκατάληκτον. τὸ η΄, προσῳδιακὸν δωδεκάσημον διάφορον προσέλαβε. τὸ θ΄, ἀναπαιστικὸν τρίμετρον ἀκατάληκτον. τὸ ι΄, ἰαμβικὸν τρίμετρον ἀκατάληκτον. ἐπὶ τῷ τέλει διπλῆ ἔσω νενευκυῖα. ἔχει δὲ καὶ ἀντιστροφὴν ὁμοίαν καθ' ἕκαστον ἑαυτῇ. ἧς τὸ τελευταῖον δυεῖν διπλαῖν κατ' ἄμφω τ' ἄκρα σημειοῦται. Μηδὲ Θούμαντιν.] οὗτοι πένητες διεβάλλοντο. καὶ ὁ μὲν Λυσίστρατος ὡς κόλαξ. ὁ δὲ Θούμαντις ὡς πένης καὶ μάντις. δέον οὖν φησι τοὺς μὲν ἱππέας ἐπαινεῖν, ἐκείνους δὲ τοὺς πένητας, μὴ διαβάλλειν. Θαλεροῖς δακρύοις.] ἀντὶ τοῦ μετὰ δακρύων ἱκετεύει σε τῆς πενίας ἕνεκεν, ἀπαλλαγῆναι ταύτης ἀξιῶν. ἱκετεύει δὲ ἁπτόμενος τῆς σῆς φαρέτρας διὰ τὸ κακῶς πένεσθαι.

E

## ΕΡΙΡΡΗΜΑ ἐκ στίχων ις΄.

### Τετράμετροι τροχαϊκοί.

F

Bisetus. Ἐν τούτῳ τῷ ἐπιρρήματι, καὶ ἐν τῷ ἑξῆς ἀντεπιρρήματι ὁ χορὸς πονηρούς, καὶ μιαρούς τινας πολίτας λοιδορεῖ, καὶ ζωγραφικῶς χαρακτηρίζει.

Λοιδορῆσαι τοὺς πονηρούς, οὐδέν ἐστ' ἐπίφθονον,
Ἀλλὰ τιμὴ τοῖσι χρηστοῖς, ὅστις εὖ λογίζεται.
Εἰ μὲν οὖν ἄνθρωπος ὃν δεῖ πόλλ' ἀκοῦσαι καὶ κακά,
Οὗτος ἦν ἔνδηλος, οὐκ ἂν ἀνδρὸς ἐμνήσθην φίλου.
Νῦν δ' Ἀρίγνωτον γὰρ οὐδεὶς ὅστις οὐκ ἐπίσταται,

## EPIRRHEMA.

### Septenarij Trochaici.

Non est odiosũ malos homines cõuitiarier:
Sed bonis laudi datur, si quis rem rectè ponderet.
G
Quòd si isthic homo, quem oportet audire malè, vir foret.
Prælustris, tũ ego nõ cõmeminissem amiculi mei.
Nunc Arignotum cytharœdum, nullus est, qui nesciat,